A Λέγεται δέ τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ, καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας, θεωρεῖν, ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κατέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ τὸν χρόνον ἥδιστα βεβιῶσθαι. Καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινά, τὴν μὲν νύκτα μαίνεσθαι, τὴν ἡμέραν δὲ οἰνοπωλεῖν. καί γε τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε· πολ- B λῶν δὲ ἐπιχειρούντων [παρελέσθαι καὶ] λαβεῖν, οὐδέποτε ἀπώλεσεν. Ἐν δὲ Λιπάρᾳ τῇ νήσῳ λέγουσιν εἶναί τινες γῆν, εἰς ἣν ἐὰν κρύψωσι χύτραν, ἐμβαλόντες ὃ ἐθέλουσιν, ἕψουσιν.

Ἔστι δὲ καὶ ἐν Μηδίᾳ καὶ ἐν Ψιττακίνῃ τῆς Περσίδος πυρὰ καιόμενα, τὰ μὲν ἐν Μηδίᾳ, ὀλίγον, τὰ δὲ ἐν Ψιττακίνῃ, πολὺ καὶ καθαρὸν τῇ φλογί. διὸ καὶ μαγειρεῖα πρὸς αὐτῷ C κατεσκεύασεν ὁ Περσῶν βασιλεύς. ἄμφω δὲ ἐν ὁμαλοῖς τόποις καὶ οὐκ [ἐν] ἀνωμάλοις. ἐνταῦθα δὲ νύκτωρ καὶ μεθ' ἡμέραν φανερά· τὰ δ' ἐν Παμφυλίᾳ, νύκτωρ μόνον. Φασὶ δὲ καὶ περὶ Ἀτιντανίαν, πρὸς τοῖς ὁρίοις τῆς Ἀπολλωνιάτιδος εἶναί τινα πέτραν, ἐξ ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν· ἐπειδὰν δὲ ἔλαιον ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται. Λέγεται δὲ καὶ τὰ ἔξω στηλῶν Ἡρακλείων καίεσθαι, τὰ μὲν, D διὰ παντός· τὰ δὲ, νύκτωρ μόνον, ὡς Ἄννωνος περίπλοις ἱστορεῖ. καὶ τὸ ἐν [τῇ] Λιπάρᾳ δὲ φανερὸν καὶ φλογῶδες, οὐ μὴν ἡμέρας, ἀλλὰ νυκτὸς μόνον. εἶναι δὲ καὶ ἐν Πιθηκούσαις φασὶ πυρῶδες μὲν καὶ θερμὸν ἐκτόπως, οὐ μὴν καιόμενον. τὸ δ' ἐν τῇ Λιπάρᾳ ποτὲ καὶ ἐκλείπειν φησὶ Ξενοφάνης ἔτη ἑκκαίδεκα, τῷ δὲ ἑβδόμῳ ἐπανελθεῖν. Τὸν δ' ἐν τῇ Αἴτνῃ ῥύα- E κα, οὔτε φλογώδη φασὶν, οὔτε συνεχῆ, ἀλλὰ διὰ πολλῶν ἐτῶν γίνεσθαι. Λέγεται δὲ καὶ περὶ Λυδίαν ἀναφέρεσθαι πῦρ πάμπληθες, καὶ καίεσθαι ἐφ' ἡμέρας ἑπτά. Θαυμαστότατον δὲ τὸ ἐν Σικελίᾳ περὶ τὸν ῥύακα γινόμενον. τὸ γὰρ πλάτος ἐστὶ τὸ τῆς τοῦ πυρὸς ἀναζέσεως τεσσαράκοντα σταδίων· τὸ δὲ ὕψος οὗ φέρεται, τριῶν. Φασὶ δὲ τὸν ἐν τῇ Θρᾴκῃ λίθον τὸν F καλούμενον σπῖνον, διακοπέντα καίεσθαι, καὶ συντεθέντα πρὸς ἑαυτὸν, ὥσπερ τὴν σμαρίλην, οὕτως κἀκεῖνον εἰς ἑαυτὸν τεθέντα καὶ ἐπιρραινόμενον ὕδατι, καίεσθαι. τὸ δ' αὐτὸ ποιεῖν καὶ τὴν μαριθάν. Περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα, ἐξ ὧν τὰ ἐκβαλλόμενα ἀποσύρματα αὐξάνεσθαί φασι καὶ φύειν χρυσίον, καὶ τοῦτο εἶναι φανερόν.

Ferunt in Abydo quendam mente destitutum, in theatrum progressum vacuum, multósque dies illic diligenter, tanquam in eo essent histriones, applausisse, acclamasséque admirabundè: cæterùm mente recepta dixit suauius se nunquam, atque eo tempore, vixisse. Tarenti aiunt cauponem noctu quidem insaniisse, interdiu verò vina vendidisse: sed & clauiculam domus suæ in zona ita conseruasse, vt quamlibet multis surripere conantibus nunquam tamen amiserit. In Lipara insula, aiunt quidam terram reperiri, qua si ollam obruas, quicquid iniicias lixetur. In Media Psittacine, regione Persidis, ignes quidam iugiter æstuant, illi quidem modicè, hi autem vehementer, flamma pura, lucentéque efflagrantes, locis vtique planis, non accliuibus. Quam ob rem & rex Persarum isthic coquinas extruxit. Conspicui sunt hi quidem diu, noctúque, alij verò in Pamphilia noctu tantum. Aiunt circa Atintaniam, iuxta colles Apolloniatidis petram esse, in qua latens ignis non appareat quidem, sed superinfuso oleo exardescat. Ferunt ex columnis Herculis incendia, alia quidem iugi flamma, omníque tempore flagrare, alia autem noctu tantum, vt Periplus scribit: similem & in Lipara, conspicuum quidem ignem, lucentémque, sed noctu tantúm. Aiunt & in Pithecusis insulis æstuaria esse, ignea quidem vi, feruentíque supra modum ardore, nec tamen flammam mittere. Porrò alterum in Lipara inquit Xenophanes, interdum, annis sexdecim prorsus extingui, decimoseptimo rursum redire. Illam quoque ignis fauillam quæ ex monte Ætna solet erumpere, aiũt esse nec flammeam, nec continuam: sed post multos annos redire. Ferunt circa Lydiam ignes emergere immensos, diebúsque septem ardere. Cùm primis verò admiratione dignum est, quod circa Siciliæ craterem inquiunt, ignium emicantium latitudinem stadia quadraginta patêre, altitudine autem vix ad tria vsque tolli. In Thracia aiunt lapidem, quem spinum vocant, dissectum ardere, compositúmque rursus, quemadmodum & Smarillem aqua perfusum accendi, vtrinque non absimilem. Maritham quoque ostendere. Circa Philippos in Macedonia, ferunt metalla inueniri, quorũ ramẽta crescãt disiecta aurúmq. manifestò producãt.